θρήνοις μοῦςαν νέκυςιν μέλεον,
τὰν ἐν μολπαῖς Ἅιδας ὑμνεῖ
δίχα παιάνων.
οἴμοι τῶν Ἀτρειδᾶν οἴκων.
ἔρρει φῶς ςκῆπτρόν ⟨τ’⟩, οἴμοι,
πατρίων οἴκων.
†τίν’ ἐκ τῶν εὐόλβων Ἄργει
βαςιλέων ἀρχά†.
μόχθος δ’ ἐκ μόχθων ἀΐςςει
⟨ ⟩
δινευούςαις ἵπποις πταναῖς.
ἀλλάξας δ’ ἐξ ἕδρας ἱερὸν
†ὄμμ’ αὐγᾶς ἅλιος†.
†ἄλλοις† δ’ ἄλλα προςέβα
χρυςέας ἀρνὸς μελάθροις ὀδύνα
†φόνος ἐπὶ φόνωι ἄχεα ἄχεςιν†.
ἔνθεν τῶν πρόςθεν δμαθέντων
ἐκβαίνει ποινὰ Ταντα λιδᾶν
εἰς οἴκους, ςπεύδει δ’ ἀςπούδαςτ’
ἐπὶ ςοὶ δαίμων.